BA ἀκοῦσαί με ὀνειδισμόν.
[16]Καὶ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δόξης 16
τοῦ μεγάλου Ραφαηλ, [17]καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ Τω- 17
βιτ λεπίσαι τὰ λευκώματα καὶ Σαρραν τὴν τοῦ Ραγουηλ δοῦναι
Τωβια τῷ υἱῷ Τωβιτ γυναῖκα καὶ δῆσαι Ασμοδαυν τὸ πονηρὸν
δαιμόνιον, διότι Τωβια ἐπιβάλλει κληρονομῆσαι αὐτήν. ἐν αὐτῷ τῷ
καιρῷ ἐπιστρέψας Τωβιτ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ Σαρρα
ἡ τοῦ Ραγουηλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.
[1]Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβιτ περὶ τοῦ ἀργυρίου, οὗ 4
παρέθετο Γαβαηλ ἐν Ῥάγοις τῆς Μηδίας, [2]καὶ εἶπεν ἐν ἑαυτῷ Ἐγὼ 2
ᾐτησάμην θάνατον· τί οὐ καλῶ Τωβιαν τὸν υἱόν μου, ἵνα αὐτῷ
ὑποδείξω πρὶν ἀποθανεῖν με; [3]καὶ καλέσας αὐτὸν εἶπεν Παιδίον, 3
ἐὰν ἀποθάνω, θάψον με· καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου, τίμα
αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ
καὶ μὴ λυπήσῃς αὐτήν. [4]μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους 4

16 εισηκουσθη η(>B†) προσευχη(B† -χης)] -κουσεν κυριος της -χης A(†) ||
17 τωβιτ 2⁰] pr. του A | ασμοδαυν B†] -δαιον rel.: cf. 8
4 2 εν εαυτω] αυτω A† | τωβιαν > A†

---

S κύριε, νῦν εἰσάκουσον ὀνειδισμόν μου.
[16]Ἐν αὐτῷ τῷ καιρῷ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐν- 16
ώπιον τῆς δόξης τοῦ θεοῦ, [17]καὶ ἀπεστάλη Ραφαηλ ἰάσασθαι τοὺς 17
δύο, Τωβιν ἀπολῦσαι τὰ λευκώματα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ,
ἵνα ἴδῃ τοῖς ὀφθαλμοῖς τὸ φῶς τοῦ θεοῦ, καὶ Σαρραν τὴν Ραγουηλ
δοῦναι αὐτὴν Τωβια τῷ υἱῷ Τωβιθ γυναῖκα καὶ λῦσαι Ασμοδαιον
τὸ δαιμόνιον τὸ πονηρὸν ἀπ᾽ αὐτῆς, διότι Τωβια ἐπιβάλλει κλη-
ρονομῆσαι αὐτὴν παρὰ πάντας τοὺς θέλοντας λαβεῖν αὐτήν. ἐν ἐκεί-
νῳ τῷ καιρῷ ἐπέστρεψεν Τωβιθ ἀπὸ τῆς αὐλῆς εἰς τὸν οἶκον αὐ-
τοῦ καὶ Σαρρα ἡ τοῦ Ραγουηλ καὶ αὐτὴ κατέβη ἐκ τοῦ ὑπερῴου.
[1]Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβιθ τοῦ ἀργυρίου, ὃ παρέθετο 4
Γαβαήλῳ ἐν Ῥάγοις τῆς Μηδίας, [2]καὶ εἶπεν ἐν τῇ καρδίᾳ αὐτοῦ 2
Ἰδοὺ ἐγὼ ᾐτησάμην θάνατον· τί οὐχὶ καλῶ Τωβιαν τὸν υἱόν μου
καὶ ὑποδείξω αὐτῷ περὶ τοῦ ἀργυρίου τούτου πρὶν ἀποθανεῖν με;
[3]καὶ ἐκάλεσεν Τωβιαν τὸν υἱὸν αὐτοῦ, καὶ ἦλθεν πρὸς αὐτόν· καὶ 3
εἶπεν αὐτῷ Θάψον με καλῶς· καὶ τίμα τὴν μητέρα σου καὶ μὴ
ἐγκαταλίπῃς αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς καὶ ποίει
τὸ ἀρεστὸν ἐνώπιον αὐτῆς καὶ μὴ λυπήσῃς τὸ πνεῦμα αὐτῆς ἐν
παντὶ πράγματι. [4]μνήσθητι αὐτῆς, παιδίον, ὅτι κινδύνους πολλοὺς 4

15 κυριε] κ̅α̅ (sic) S || 17 τωβ(ε)ιν: sic acc. in S hic et in 7 4 9 6 10 9
11 19, nom. τωβεις in 11 10 12 4, dat. τωβει[α] in 7 2; sed ceteris locis indecl.
τωβειθ, cf. inscr. libri | σαρραν την Fr.] σαρρα τη S*, σαρραν την του Sc = BA

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1063 UNIVERSITÄT LEIPZIG